# + Παρθενίου περὶ ἐρωτικῶν παθημάτων

## ταῦτα ἐν τῷδε τῷ συγγράμματι περιέχεται:

α περὶ Λύρκου
β περὶ Πολυμήλης
γ περὶ Εὐίππης
δ περὶ Οἰνώνης
ε περὶ Λευκίππου
ς περὶ Παλλήνης
ζ περὶ Ἱππαρίνου
η περὶ Ἠρίππης
θ περὶ Πολυκρίτης
ι περὶ Λευκώνης
ια περὶ Βυβλίδος
ιβ περὶ Κάλχου
ιγ περὶ Ἁρπαλύκης
ιδ περὶ Ἀνθέως
ιε περὶ Δάφνης
ις περὶ Λαοδίκης
ιζ περὶ τῆς Περιάνδρου μητρός
ιη περὶ Νεαίρας
ιθ περὶ Παγκρατοῦς
κ περὶ Αἰροῦς
κα περὶ Πεισιδίκης
κβ περὶ Νανίδος
κγ περὶ Χειλωνίδος
κδ περὶ Ἱππαρίνου
κε περὶ Φαΰλλου
κς περὶ Ἀπριάτης
κζ περὶ Ἀλκινόης
κη περὶ Κλείτης
κθ περὶ Δάφνιδος
λ περὶ Κελτίνης
λα περὶ Διμοίτου
λβ περὶ Ἀνθίππης
λγ περὶ Ἀσσάονος
λδ περὶ Κορύθου
λε περὶ Εὐλιμένης
λς περὶ Ἀργανθώνης:

## + Παρθένιος Κορνηλίῳ Γάλλῳ χαίρειν.

Μάλιστα σοὶ δοκῶν ἁρμόττειν, Κορνήλιε Γάλλε, τὴν ἄθροισιν τῶν ἐρωτικῶν παθημάτων ἀναλεξάμενος ὡς ὅτι μάλιστα ἐν βραχυτάτοις ἀπέσταλκα. τὰ γὰρ παρά τισι τῶν ποιητῶν κείμενα τούτων, μὴ αὐτοτελῶς λελεγμένα, κατανοήσεις ἐκ τῶνδε τὰ πλεῖστα. αὐτῷ τέ σοι παρέσται εἰς ἔπη καὶ ἐλεγείας ἀνάγειν τὰ μάλιστα ἐξ αὐτῶν ἁρμόδια· διὰ τὸ μὴ παρεῖναι τὸ περιττὸν αὐτοῖς, ὃ δὴ σὺ μετέρχῃ, χεῖρον περὶ αὐτῶν ἐννοηθῇς· οἱονεὶ γὰρ ὑπομνηματίων τρόπον αὐτὰ συνελεξάμεθα, καὶ σοὶ νυνὶ τὴν χρῆσιν ὁμοίαν ὡς ἔοικε παρέξεται:

περὶ Λύρκου α

Ἀρπασθείσης Ἰοῦς τῆς Ἀργείας ὑπὸ λῃστῶν, ὁ πατὴρ αὐτῆς Ἴναχος μαστῆράς τε καὶ ἐρευνητὰς ἄλλους τε καθῆκεν· ἐν δὲ αὐτοῖς Λύρκον τὸν Φορω-

Ἡ ἱστορία παρὰ Νικαινέτῳ ἐν τῷ Λύρκῳ καὶ Ἀπολλωνίῳ Ῥοδίῳ Καύνῳ:

http://digi.ub.uni-heidelberg.de/diglit/cpgraec398/0350
UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
© Universitätsbibliothek Heidelberg